καὶ δίβολον περόναν καὶ στλεγγίδα καὶ τὸ τανυσθέν
τόξον καὶ τριβακὰν γλοιοπότιν χλαμύδα
καὶ σχίζας καὶ σφαῖραν ἀείβολον. ἀλλὰ σὺ δέξαι
δῶρα, φιλευτάκτου †δῶρον† ἐφηβοσύνας.

# THYMOCLES

## I

μέμνῃ που, μέμνῃ, ὅτε τοι ἔπος ἱερὸν εἶπον,
"ὥρη κάλλιστον χὤρη ἐλαφρότατον"·
ὥρην οὐδ᾽ ὁ τάχιστος ἐν αἰθέρι †παρθύσει† ὄρνις.
νῦν ἴδε, πάντ᾽ ἐπὶ γῆς ἄνθεά σευ κέχυται.

# TYMNES

## I

Μίκκος ὁ Πελλαναῖος Ἐνυαλίου βαρὺν αὐλόν
τόνδ᾽ ἐς Ἀθαναίας ἐκρέμασ᾽ Ἰλιάδος,
Τυρσηνὸν μελέδαμα, δι᾽ οὗ ποκα πόλλ᾽ ἐβόασεν
ὡνὴρ εἰράνας σύμβολα καὶ πολέμου.

## II

μή σοι τοῦτο, Φιλαινί, λίην ἐπικαίριον ἔστω,
εἰ μὴ πρὸς Νείλῳ γῆς μορίης ἔτυχες,